eul_wid: qnq-bv

*Αἴλιος Ἡρωδιανός* · Herodian of Alexandria

# Symposium

*Συμπόσιον*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Λόγος* Oration

[30] ΣΥΜΠΟΣΙΟΝ. E. Gud. 111, 15: βολβός ἐπὶ τοῦ ἐσθιομένου παρὰ τὸ βίᾳ ἀναβάλλεσθαι. οὕτως Ἡρωδιανὸς ἐν Συμποσί ῳ. An. Ox. III 399 (E. M. 420, 35, Anecd. Par. III 277, Eustath. 154, 38): Ἡρωδιανὸς ἐν τῷ αὐτοῦ Συμποσίῳ δασύνεσθαι τὸ ἧδος λέγει πρὸς τινῶν ὡς ἀπὸ τοῦ ἥδω καὶ τῆς ἡδονῆς. ἐκρίναμεν δέ, φησί, μᾶλλον δὲ ψιλοῦσθαι αὐτό. φέρεται δὲ καὶ κανὼν τοιοῦτος· τὰ εἰς ος οὐδέτερα δισύλλαβα ἀρχόμενα ἀπὸ φύσει μακρᾶς ψιλοῦται τὸ κατ' ἀρχὰς φωνῆεν οἷον εὖχος, ἦδος. ὅλως δὲ πάντα τὰ τροχαϊκὰ ψιλοῦται ὡς καὶ τὸ ἦχος ἦμος ἀντὶ τοῦ ἡνίκα· οὕτω δὲ καὶ τὸ ἦμαρ μετασχηματισθὲν ἀπὸ τοῦ ἡμέρα ὡς καὶ τὸ ἦδος Αἰολικῶς ἀπὸ τῆς ἡδονῆς· ὥσπερ καὶ ἀπὸ τῆς μηχανῆς μετεσχηματίσθη τὸ μῆχος, ὅπερ καὶ μῆχαρ λέγεται ὡς ἦμαρ καὶ ὡς μῶμαρ ὁ μῶμος παρὰ Λυκόφρονι, προσφυέστερον δὲ εἰπεῖν ὡς ἀλκή ἄλκαρ. σεσημείωται ἐν τῷ ῥηθέντι κανόνι τῶν τροχαϊκῶν τὸ ἧλος δασυνθὲν καὶ τὸ ἧχι, ἐφ' ὧν ἐστι καὶ ἀπολογία εὔλογος τοῦ δασύνεσθαι αὐτά. [30]

3,2 905 E. Orion. 68, 3: ἧπαρ : ὁ Ἡρωδιανὸς ἐν τῷ Συμποσίῳ παρὰ τὸ ἐπαίρεσθαί φησιν ἔπαρ τι ὂν καὶ ἧπαρ τροπῇ τοῦ ε εἰς η ἢ παρὰ τὸ ἥδω ἧδαρ καὶ ἧπαρ. ἐν τούτῳ γὰρ τὸ τῆς ἡδονῆς καὶ τὸ τῆς ἐπιθυμίας. E. Orion. 89, 2: κάραβος παρὰ τὸ κάρᾳ βαίνειν τῆς κεφαλῆς προηκούσης ἐπὶ τῷ ἐδάφει. Ἡρωδιανὸς ἐν τῷ Συμποσί ῳ. E. Orion. 85, 17: καρκίνος παρὰ τὸ κάρη κινεῖν συνεχῶς. E. Orion. 85, 18: καρίς παρὰ τὸ σκαίρειν σκαρίς τις οὖσα. E. Orion. 124, 12 ὀθόνη : παρὰ τὸ ὄθω τὸ δηλοῦν τὴν κίνησιν. ἔνθεν «οὐδ' ὄθομαι κοτέοντος» (A 181) καὶ «ψεδνὴ δ' ἐπενήνοθε λάχνη» (B 219) ἐνόθω ἤνοθεν ἐνήνοθεν ἀντὶ τοῦ ἐκινεῖτο. ὀθόνη οὖν εὐκίνητος διὰ λεπτότητα. Ἡρωδιανὸς ἐν τῷ Συμποσί ῳ. E. Or. 118, 11 ὄξος : ἐπεὶ τέμνει καὶ κεντρίζει ὡς εἰπεῖν τὴν γεῦσιν. καὶ ὀξεῖαν σταφυλὴν λέγομεν τὴν κεντρίζουσαν ἡμῶν τὴν γεῦσιν. Κυρηναῖοι δὲ τὸ ὄξος ἧδος λέγουσι κατ' ἀντίφρασιν. δύναται δὲ παρὰ τὸ ὀξύ ὄξος ὁ εἰς ὀξὺ μεταβεβληκὼς οἶνος εἰρῆσθαι ὀξύς ὄξος ὡς ταχύς τάχος, εὐρύς εὖρος. οὕτω Φιλόξενος. E. Orion. 124, 12 πελωρίς : παρὰ τὸ πέλωρον. μεῖζον γάρ ἐστι τῆς χήμης καὶ τῶν ἄλλων ὁμοίων ὀστρέων. οὕτως Ἡρωδιανὸς ἐν Συμποσί ῳ. E. Orion. 138, 3 πηλός : ὁ οἶνος. παρὰ τὸ πάλλειν καὶ σείειν ἡμᾶς πίνοντας. Ἐν Συμποσίῳ οὕτως Ἡρωδιανό ς. E. [30]

3,2 906 (2) Orion. 151, 16: τάριχος παρὰ τὸ ἐν τῇ ταριχείᾳ ἰσχναίνεσθαι ἢ παρὰ τὸ γάρρον ἴσχειν ἢ καὶ γάρρον ἐξιχωρίζεσθαι. οὕτως Ἡρωδιανὸς ἐν τῷ Συμποσί ῳ. καὶ ἔστι τροπὴ τοῦ γ εἰς τ . E. Orion. 162, 18: φάτνη παρὰ τὸ φάγνη καὶ τροπῇ τοῦ γ εἰς τ φάτνη. οὕτως Ἡρωδιανὸς ἐν τῷ Συμποσί ῳ. Eustath. 1300, 9 ad Il. Ψ 270: ὡς φιάλη ἀμφίθετος, ἧς ἔστι πάντοθεν πίνειν ἐπιθέντα τὸ

στόμα, ὡς Ἡρωδιανὸς λέγει, ὦτα γάρ, φησίν, οὐκ ἔχει ἢ κατ᾽ ἄμφω τιθεμένη, ἵνα σημαίνῃ, φησίν, ἐκπέταλον. E. Orion. 168, 17 (E. Gud. 573, 35, Choer. Ep. in Psalm. 1, 13): ψάλλειν ἐπὶ τῶν χορδῶν παρὰ τὸ ψῶ, οὗ παραγωγὸν ψαύω καὶ ψάλλω. παρὰ τὸ διὰ δακτύλων ἐφάπτεσθαι αὐτῶν. οὕτω Ἡρωδιανὸς ἐν τῷ Συμποσί ῳ. E. Orion. 168, 4: ψεδνός παρὰ τὸ ψῶ, οὗ μέλλων ψήσω, ῥηματικὸν ὄνομα ψεδνός ὁ μαδαρός παρὰ τὸ ἀπεψῆσθαι. οὕτω Φιλόξενος. ὁ δὲ Ἡρωδιανὸς ἐν τῷ Συμποσίῳ φησίν, ὅτι δηλοῖ τὸ ψῶ τὸ εἰς ἐλάχιστον καὶ μικρὸν ἔκ τινος οὐσίας καθιστάμενον. E. Gud. 573, 35: ψηνός ὁ μαδαρός καὶ φαλακρός παρὰ τὸ ἐψῆσθαι. ὁ δὲ Ἡρωδιανός φησιν ὅτι δηλοῖ τὸ ψῶ τὸ εἰς ἐλάχιστον καὶ μικρὸν ἔκ τινος οὐσίας μέρος καθιστάμενον. E. Orion. 167, 18: ψωμοί παρὰ τὸ ψήχεσθαι ὑπὸ τῶν ὀδόντων καὶ τρίβεσθαι καὶ τὰ ψιχία ὁμοίως. ὁ δὲ Ἡρωδιανὸς ἐν τῷ Συμποσίῳ παρὰ τὸ ψῶ. δηλοῖ καὶ ἐκ τοῦ ἐκτελοῦς ἄρτου τὸ ἐλάχιστον, φησί. [30]

Eulogikon public reading copy · View original HTML at eulogikon.org